# 0345-0407 - Iohannes Chrysostomus - De virtute animi

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright.**
**On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site.**
**Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 366 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances.
Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

De virtute animi

[00001] ΟΜΙΛΙΑ Η′.

[00002] Ὅτι πάντων ἡ κατὰ ψυχὴν ἀρετὴ προτιμοτέρα.

64.473

[00003] Ἀριθμῶν τὰ τοῦ βίου πολλάκις κατ' ἐμαυτὸν ἀγαθὰ, καὶ μεστὴν εὑρίσκων πολλῶν πανταχόθεν τὴν κτίσιν, καὶ μυρίων τῷ γένει παρεκτικὴν ἀγαθῶν, οὐδὲν ὁρῶ τοῦ ψυχῆς ὡραιότητα φιλοκαλεῖν ἀγαθώτερον, οὐδὲ μᾶλλον ἀνθρώπου πρεπωδέστερον φύσει.

[00004] Τίς γὰρ οὕτω πρέπων ἀνθρωπότητι πλοῦτος, ὡς ἐλπίδων εὐσεβῶν εὐπορία;

[00005] Τίς οὕτως ἐκ δυναστείας λαμπρὸς, ὡς ἐκ γνώμης τῷ τῶν ὅλων βασιλεῖ τιμωμένης;

[00006] Τίς ἐκ τρυφῆς ἡδονὴ τηλικαύτη, ὁπόση τις συνειδότος ζωοποιοῖς ἑστιωμένου μαθήμασιν;

[00007] Πᾶν ὅπερ ἂν εἰς μέσον ἀγαθὸν παραγάγῃς, ἐξ οὐδενὸς ἂν εὕροις ὡς ἐκ γνώμης ἐνθέου σεμνυνόμενον ἄνθρωπον.

[00008] Τῶν μὲν γὰρ ἄλλων καλῶν ἐστίν τις καὶ τοῖς ἀλόγοις πρὸς ἡμᾶς κοινωνία·

[00009] οἷον ἡ τῆς ἀκτῖνος καλή τις ἀπόλαυσις, ἀλλὰ πρόκειται καὶ τοῖς κτήνεσιν αὐτή·

[00010] ἡ τῶν βρωμάτων ἀγαθὴ χορηγία, ἀλλὰ τούτων κἀκείνοις μετάσχεσις·

[00011] αἱ τοῦ κάλλους ἐράσμιοι χάριτες, ἀλλ' εὕροις ἂν καὶ κάλλος ἐξ ὀρνίθων ἀστράπτον·

[00012] τὸ δὲ ἰσχύος πολυθρύλλητον δῶρον, ἀλλ' ἔστιν τὸ ταύτης καὶ βουσὶν πλεονέκτημα·

[00013] ἡ τοῦ πλούτου πολύευκτος ἄθροισις, ἀλλ' ἴδοις ἂν καὶ ὄστρεα πλούσια μαργαριτῶν θησαυροῖς.

[00014] Οὐδενὸς τῶν σαρκίνων παρ' ἡμῖν καυχημάτων ἡ τῶν ἀλόγων ἀκοινώνητος φύσις, οὐδενὸς σωματικοῦ παρ' ἡμῖν πλεονεκτήματος χείρων.

[00015] Ἐξ ἑνὸς δὲ αὐτοῖς μόνου πρὸς ἡμᾶς παραχώρησις, ἑνὶ μόνῳ παρ' ἡμῶν νικῶνται πλεονεκτήματι.

[00016] Ποίῳ δὴ τούτῳ;

[00017] Τῇ τῆς γνώμης ἀξίᾳ, δι' ἣν ἄνθρωπος Θεῷ παραπλήσιος, νῷ κεχρημένος κυβερνήτῃ τῶν ὄντων, διανοίᾳ διοικῶν τὰ τῆς κτίσεως, λογισμῷ τὸν οὐρανὸν διεξιὼν, ἐννοίᾳ τὸ ὑπήκοον ἄγων, ἡνιοχῶν σοφίᾳ τῆς ἀτάκτου θαλάσσης τὸ δύσχρηστον, προνοίᾳ τὰ φυόμενα σώζων, ἐπιστήμῃ δεικνὺς τὰ φαινόμενα, δεσπόζων τῆς τῶν ὄντων, ὡς ὁ κτίστης, καλλιτεχνίας.

[00018] Καὶ ταῦτα δηλῶν ἐκ προοιμίων ἐφ' ἡμῖν ὁ Θεὸς ἀνεβόα·

[00019] Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν.

[00020] Καὶ φοβερὰ τῆς εἰκόνος ἡ τιμὴ, καὶ φιλάνθρωπος·

[00021] φοβερὰ μὲν ὡς εἰκὼν ἀρχετύπου φρικώδους.

[00022] Κίνδυνος γὰρ οὐ μικρὸς, μὴ σχοίη τις πρόσκρουσιν τῷ τῆς ἁμαρτίας σπίλῳ τὴν εἰκόνα σπιλώσας·

[00023] φιλάνθρωπος δὲ, ὡς μεγάλη δωρεὰ πρὸ ἱδρώτων, ἣν ἡμῖν ὁ κτίστης πρὸ γενετῆς παρεσκεύαζεν.

[00024] Ποιήσωμεν γὰρ, φησὶν, ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν.

[00025] Πρὸ τῆς πλάσεως μερίμνῃ τιμώμεθα.

[00026] Ἑκάστῳ μὲν γὰρ τῶν ὄντων παρεχόμενος ὕπαρξιν, αὐθεντίαν ἐτήρει προστάττοντος, καὶ πᾶσαν τῶν ὁρωμένων τὴν φύσιν ἐκ προστάγματος ἔκτιζεν, προστακτικῶς τοῖς οὐκ οὖσιν ἐπιφθεγγόμενος·

[00027] Γενηθήτω φῶς·

[00028] γενηθήτω στερέωμα·

[00029] γενηθήτωσαν φωστῆρες εἰς φαῦσιν·

[00030] ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν·

[00031] ἐξαγαγέτω ἡ γῆ τετράποδα κατὰ γέ [64.476] νος!

[00032] Ὡς δὲ ἔδει κτισθῆναι τὸν ἄνθρωπον, ἀφεὶς τὸν προστάττοντα, τὸν αὐτουργὸν ἀνελάμβανεν, ἀφεὶς τὸν σχεδιάζοντα τῶν ὄντων τὴν σύνθεσιν, τὴν ἀνθρωπογένειαν ἐσκέπτετο, ἀφεὶς εἰπεῖν πρὸς τὴν γῆν, ἐξάγαγε ἄνθρωπον! Ὡς κτίσαι τὸν ἄνθρωπον μὴ δυνάμενος μόνος, καὶ κοινωνοὺς συγκαλεῖ πρὸς τὴν πλάσιν, καὶ ὡς συνεργῶν δεόμενος κέκραγεν·

[00033] Ποιήσωμεν·

[00034] οὐ μελέτης εἰς τέχνην δεόμενος, οὐ συνεργῶν εἰς διάπλασιν χρήζων, ἀλλὰ τῷ τῆς μελέτης καὶ συνεργίας σχηματισμῷ μεμεριμνημένον αὐτῷ καὶ πάμμεγα διαπλάττειν ἐνδεικνύμενος γένος.

[00035] Ἐν δὲ τῇ τιμῇ καὶ παιδαγωγία τις τῷ γένει πρὸς εὐσέβειαν κέκρυπται.

[00036] Πᾶσαν γὰρ τὴν κτίσιν θεοποιίας ἐξέβαλεν, εἰκόνι τῆς ἰδίας αὐτὴν παραδοὺς μοναρχίας·

[00037] εἰκόνος γὰρ βασιλέως ἅπαν μέγα νομιζόμενον.

[00038] Δεύτερον·

[00039] Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν·

[00040] καὶ

[00041] Επιτρέπετα

[00042] προβλέπων μὲν τὸ ἄγνωμον, τὸ φίλτρον οὐκ ἤμβλυνεν·

[00043] οὐ γὰρ ἔδει μὴ λάμψαι τὸν ἥλιον διὰ τοὺς πρὸς τὴν ἀκτῖνα τυφλούς·

[00044] διὰ τοῦτο καὶ προειδὼς τὴν παράβασιν, τὴν φιλανθρωπίαν ἀνέτελλεν·

[00045] καὶ προορῶν τὸ μέλλον, τὴν τιμὴν οὐκ ἀνεῖλεν, καὶ προγιγνώσκων τὴν ὕβριν, οὐ κατέσχεν τὴν χάριν, φιλοκαλῶν πλαττομένους, ἵνα κἂν ὡς πρόσκαιρος ἀπομάθη τὸ ἄπληστον, καὶ δῷ πρόφασιν τῷ Θεῷ δευτέρου δώρου πρὸς ἀρχὴν ἀϊδίου.

[00046] Δεινὸν γὰρ εἰς ἀπληστίας σωφρονισμὸν τελευτή.

[00047] Τῷ γὰρ μετὰ μικρὸν κεισομένῳ τῆς ἀπλήστου τίς ὄνησις κτίσεως;

[00048] Τῷ τὸν βίον ὡς ὁδὸν διϊόντι ἡ τῶν περιττῶν ἀχθοφορία ματαία.

[00049] Ὁδὸν γὰρ τὸν βίον, οὐ πατρίδα κεκτήμεθα.

[00050] Οὕτως αὐτὸν ὁ Κύριος ἐν τοῖς Εὐαγγελίοις καλῶν·

[00051] Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ.

[00052] Εὔλογος ἡ τῆς ὁδοῦ προσηγορία τῷ βίῳ·

[00053] μεμέτρηται γὰρ ζωὴ ὥσπερ ὁδὸς διαστήμασιν·

[00054] πρόσκαιρόν ἐστιν πλουτούντων καὶ πτωχῶν πανδοχεῖον·

[00055] ὀλιγοχρόνιος παρερχομένων ἀνάπαυσις·

[00056] Αἱ ἡμέραι γὰρ ἡμῶν ὡς σκιὰ παράγουσιν.

[00057] Ποῦ τὰ πρῶτα τῆς ζωῆς ἡμῶν ἔτη;

[00058] Παρῆλθεν ὡς σκιᾶς φαντασία, διέδραμεν ὡς σχήματος σκίασμα.

[00059] Πόσον ἡμῖν τῆς ὑπολοίπου ζωῆς τὸ διάστημα;

[00060] Τίθει πολυετίαν φιλότιμον, ἑκατοντοῦτιν ζωήν·

[00061] εἰ δὲ βούλει, τριπλασίασιν δὸς ἔτεσιν, καὶ οὐδενὶ τῶν βιωτικῶν τούτων παρέξῃ τὸ μόνιμον·

[00062] κἂν πλούτῳ φιλοτιμῆται, κἂν τρυφῇ περικλύζηται, κἂν θρόνων ὑψηλότητι λάμπῃ, κἂν ὅ τι οὖν τῶν τοῦ βίου συμπεριφέρῃ λαμπρῶν.

[00063] Πάντα γὰρ τοῖς τῶν ἀνθέων μαρασμοῖς ἐοικότα, πάντα διαδοχῆς θρηνώδους ὑπεύθυνα, σαθρὰ μὲν ὄντα, καὶ καθ' ὃν θάλλει καιρόν·

[00064] ἔχει γὰρ κινδύνων διὰ παντὸς ἀγωνίαν.

[00065] Ὁ πλοῦτος μεριμνᾷ τὰς ληστείας, ἡ τρυφὴ κινδυνώδης ταῖς νόσοις, μεταβολαὶ ταῖς δυναστείαις·

[00066] καὶ παλαίσας πολυτρόποις κινδύνοις καὶ μυρίοις ἐκτακεὶς μεριμνήμασιν, ἔχει θάνατον αὐτῷ φυλαττόμενον, ἀντίπαλον ἄῤῥηκτον, ἀπερίγραφον τόποις, ἀκολάκευτον δώροις, ἀδυσώπητον θρήνοις, αἰφνίδιον ἅρπαγα.

[00067] Ὁ χθὲς ἐν [64.477] πλούτῳ, σήμερον ἐξαπίνης ἐν τάφῳ·

[00068] ὁ χθὲς ἐν συμποσίῳ τρυφῆς, σήμερον ἐν καταλόγῳ νεκρῶν·

[00069] ὁ χθὲς ἐν τοῖς θρόνοις, τῇ μετὰ ταύτην ἐν σπαργάνοις·

[00070] ὁ χθὲς ἐν τοῖς κόλαξι, μετὰ μικρὸν ἐν τοῖς σκώληξι.

[00071] Ποῦ τῶν ἀριθμουμένων ἡ χαρὰ βαλαντίων;

[00072] Ποῦ τῆς προσόδου τῶν κτημάτων ὁ κόμπος;

[00073] Ποῦ πλουσίου καὶ πενομένου νεκροῦ τὸ διάφορον;

[00074] Ποῦ βασιλέως καὶ προσαίτου τὸ μέσον;

[00075] Ἀμφοτέρων ὁ διάδοχος θάνατος, ἑκατέρου τὸ συμπέρασμα τάφος·

[00076] πλὴν ἐνταφίων οὐδενὶ συνοδία Εὖγε τῆς Παύλου φωνῆς·

[00077] Πορισμὸς, φησὶν, μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας·

[00078] οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον, ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα.

[00079] Ἄμαχος συλλογισμὸς αὐταρκείας, τῷ μηδὲν τῶν κτηθέντων συνεξιέναι τοῖς κτήτορσιν·

[00080] οὐδὲν γὰρ, φησὶν, ἐξενεγκεῖν δυνησόμεθα.

[00081] Τί, φησὶν, ἃ μὴ μετάγεις, συνεξάγεις;

[00082] Τί κατέχεις τὰ μὴ κρατούμενα;

[00083] Τὸ πέρας τῆς αὐταρκείας τοῖς κτησαμένοις ἀνόνητον.

[00084] Ὅσα γὰρ ἂν συλλέξειεν ἄνθρωπος, εἰς σκέπην αὐτῷ καὶ τροφὴν τελευτήσει, τῶν δὲ λοιπῶν ἁπάντων κληρονόμος ὁ βίος.

[00085] Ψυχαγωγούμεθα δὲ ταῖς διαθήκαις οἱ κτήτορες, ἃ λαβεῖν οὐκ ἰσχύομεν, χαριζόμενοι γράμμασιν·

[00086] ἃ κατέχειν οὐκ ἔστιν, ἀφιέναι δοκοῦντες, ὡς, εἴγε κατέχειν ἦν, οὐκ ἂν ἐξέστημεν ἄλλῳ.

[00087] Καὶ δηλοῖ τὴν γνώμην τῆς διαθήκης ὁ πρόλογος·

[00088] εἴη μέν με, φησὶν, ζῆν, καὶ κυριεύειν με τῶν ἐμῶν.

[00089] Εὐχὴν περισφίγγοντος καὶ παραχωροῦντος φωνῇ γράφει τὸ γράμμα καὶ τοῦ γράμματος τὸ ἔργον ἀπεύχεται·

[00090] εἴη μέν με ζῆν, καὶ κυριεύειν με τῶν ἐμῶν.

[00091] Οὐδὲ ψυχοῤῥαγοῦντες τοῦ τῶν χρημάτων ἀφιστάμεθα φίλτρου·

[00092] ἂν δέ τι, φησὶν, τὸν κατ' ἄνθρωπον πάθω, βούλομαι εἶναι κληρονόμους.

[00093] Κληρονομεῖ κἂν μὴ βούλει·

[00094] ἡ φύσις σε καὶ ἄκοντα κληρονομεῖσθαι διέθετο.

[00095] Κἂν σὺ τοῖς χρήμασι κληρονόμον μὴ γράψῃς, εὑρήσει κληρονόμον τὰ χρήματα·

[00096] κἂν μηδενὶ καταλίπῃς, οὐδὲν ἐξενεγκεῖν ὧν ἐκτήσω δυνήσῃ.

[00097] Οὐχ ὡς φαῦλον τὸ διατίθεσθαι λέγω·

[00098] παραινεῖ γάρ που καὶ προφήτης ἀνθρώπῳ·

[00099] Τάξαι περὶ τοῦ οἴκου

[00100] Επιτρέπετα

[00101] σου·

[00102] ἀποθνήσκεις γὰρ σὺ, καὶ οὐ ζήσῃ·

[00103] ἀλλὰ τὰς τῶν γηΐνων ἡμῶν κωμῳδῶ προαιρέσεις, ὅτι τὰ τούτοις ἐκ τούτων παραπεμπόμενα χρήματα τῶν ἀδιαδόχων τιμιώτερα κρίνομεν.

[00104] Ὄντως πορισμὸς μέγας ἡ εὐσέβεια·

[00105] οὐχ ὑπόκειται θανάτου διαδοχαῖς, οὐ διαθηκῶν σκορπίζεται γράμμασιν, οὐκ ἀφεὶς τὸν κτησάμενον κληρονομεῖται παρ' ἄλλων.

[00106] Αὐτὸς ἑαυτοῦ κιβωτὸς ὁ φιλόθεος, αὐτὸς κληρονόμος τῆς οἰκείας οὐσίας, τῷ τῆς εὐσεβείας συνεκδημεῖ βαλαντίῳ, τῷ τῶν ἐλπίδων συνεπάγεται πλούτῳ, βαστάζει τῶν ἀρετῶν ὁδεύων τὴν πρόσοδον, εὑρίσκει τὸν οὐρανὸν οἰκίαν, ἀναμίγνυται συμποσίῳ δικαίων, καρποῦται βασιλείας ἀξίαν αἰώνιον, πρόσεισι τῷ βασιλεῖ σὺν παῤῥησίᾳ βοῶν·

[00107] Σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί.

[00108] [64.480] Πρὸς ἐκεῖνα Χριστιανοῖς ὁ σκοπός·

[00109] δι' ἐκεῖνα τὸ τεχθῆναι μακαριστὸν, ὅτι τεύξεταί τις θέας ὑπὲρ ἔννοιαν θείας·

[00110] τῆς τῶν ἀνθρώπων ἐξαίφνης ἀνοίξεως, τῆς παραδόξου τῆς γῆς ἀλλοιώσεως, τῶν τοὺς ἐξ αἰῶνος σαλπίγγων νεκροὺς ἐγειρουσῶν, τῶν φερομένων δι' ἀέρος δικαίων, τῶν ἀγγελικῶν ὀφθαλμοφανῶς βακχευμάτων, τῆς ἐπὶ τὴν γῆν ὑπ' ὄψεσιν τῆς οἰκουμένης τοῦ δεσπότου καθόδου.

[00111] Ὢ πηλίκον τὸ νῦν αὐτοὺς πεφιληκότας θερμῶς κατὰ τὴν τότε βοῆσαι προσελθόντας ἀπάντησιν·

[00112] Μνήσθητι, Κύριε, ὡς ἐπορεύθημεν ἐνώπιόν σου μετὰ ἀληθείας καὶ τὰ ἀρεστὰ ἐνώπιόν σου ἐποιήσαμεν, καὶ βοῶντας εὐθέως ἀντακοῦσαι βοῶντος·

[00113] Καὶ γινώσκω τὰ ἐμὰ, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν.

[00114] Ἀνανεύσωμεν δὴ τῆς πολλῆς περὶ τὰ βιωτικὰ φροντίδος·

[00115] κουφίσωμεν τῶν γηΐνων τὴν ψυχὴν φορτισμάτων·

[00116] διέλθωμεν πρὸς τὸ μέλλον ἐννοίαις·

[00117] τῶν ἀδιαδόχων θησαυρῶν ἐρασθῶμεν·

[00118] φυλάξωμεν ἀρετῆς ἁλουργίδι τὸ τῆς βασιλικῆς εἰκόνος ἀξίωμα·

[00119] βασιλεύειν τῶν τοῦ βίου ταχθέντες, εἰς δουλείαν τὴν βασιλείαν μὴ στρέφωμεν·

[00120] πρὸ παντὸς πλούτου ζητῶμεν τὸν τοῦ πλούτου προστάτην·

[00121] Πλούσιοι γὰρ, φησὶν, ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ·

[00122] αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00123] Ἀμήν.

[00124] Επιτρέπετα

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - De virtute animi**

**Litterarum Omnium Conspectus: 116 Litterae, quae repetitae sunt in 7,065 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 437 | Α | 0913 | 3 |
| β | 0946 | 48 | Β | 0914 | 0 |

| | | | | | |
|---|---|---|---|---|---|
| γ | 0947 | 122 | Γ | 0915 | 1 |
| δ | 0948 | 131 | Δ | 0916 | 0 |
| ε | 0949 | 350 | Ε | 0917 | 7 |
| ζ | 0950 | 22 | Ζ | 0918 | 0 |
| η | 0951 | 101 | Η | 0919 | 1 |
| θ | 0952 | 97 | Θ | 0920 | 3 |
| ι | 0953 | 323 | Ι | 0921 | 2 |
| κ | 0954 | 239 | Κ | 0922 | 10 |
| λ | 0955 | 183 | Λ | 0923 | 1 |
| μ | 0956 | 241 | Μ | 0924 | 2 |
| ν | 0957 | 689 | Ν | 0925 | 0 |
| ξ | 0958 | 31 | Ξ | 0926 | 0 |
| ο | 0959 | 448 | Ο | 0927 | 5 |
| π | 0960 | 216 | Π | 0928 | 20 |
| ρ | 0961 | 292 | Ρ | 0929 | 0 |
| ς | 0962 | 308 | • | 0930 | 0 |
| σ | 0963 | 241 | Σ | 0931 | 1 |
| τ | 0964 | 532 | Τ | 0932 | 12 |
| υ | 0965 | 119 | Υ | 0933 | 0 |
| φ | 0966 | 73 | Φ | 0934 | 0 |
| χ | 0967 | 66 | Χ | 0935 | 1 |
| ψ | 0968 | 9 | Ψ | 0936 | 1 |
| ω | 0969 | 135 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 3 | | | 0 |
| ῥ | 8165 | 3 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 74 | έ | 8051 | 87 | ή | 8053 | 46 | ί | 8055 | 122 | ό | 8057 | 80 | ύ | 8059 | 53 | ώ | 8061 | 31 |
| ὰ | 8048 | 60 | ὲ | 8050 | 27 | ὴ | 80852 | 47 | ὶ | 8054 | 63 | ὸ | 8056 | 81 | ὺ | 8058 | 12 | ὼ | 8060 | 3 |
| ᾶ | 8118 | 7 | | | 0 | ῆ | 8134 | 49 | ῖ | 8150 | 46 | | | 0 | ῦ | 8166 | 36 | ῶ | 8182 | 86 |
| ἀ | 7936 | 74 | ἐ | 7952 | 67 | ἠ | 7968 | 0 | ἰ | 7984 | 32 | ὀ | 8000 | 3 | ὐ | 8016 | 60 | ὠ | 8032 | 0 |
| ἁ | 7937 | 3 | ἑ | 7953 | 7 | ἡ | 7969 | 32 | ἱ | 7985 | 5 | ὁ | 8001 | 22 | ὑ | 8017 | 11 | ὡ | 8033 | 16 |
| ἂ | 7938 | 15 | ἒ | 7954 | 0 | ἢ | 7970 | 1 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ἃ | 7939 | 3 | ἓ | 7955 | 0 | ἣ | 7971 | 1 | ἳ | 7987 | 0 | ὃ | 8003 | 1 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 19 | ἔ | 7956 | 11 | ἤ | 7972 | 1 | ἴ | 7988 | 5 | ὄ | 8004 | 8 | ὔ | 8020 | 1 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 2 | ἕ | 7957 | 1 | ἥ | 7973 | 1 | ἵ | 7989 | 1 | ὅ | 8005 | 7 | ὕ | 8021 | 8 | ὥ | 8037 | 1 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 1 | ἶ | 7990 | 3 | | | 0 | ὖ | 8022 | 3 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 1 | | | 0 | ὗ | 8023 | 0 | ὧ | 8039 | 1 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 6 | | | 0 | ῃ | 8131 | 13 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 19 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 1 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 1 | | | 0 | ῇ | 8135 | 9 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 25 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - De virtute animi**
**Verborum Omnium Conspectus: 773Verba, quae repetita sunt in 1,477,761 occasionibus**

---

**ἃ** [00081] [00085] [00086]
**ἀγαθὰ** [00003]
**ἀγαθὴ** [00010]
**ἀγαθὸν** [00007]
**ἀγαθοῦ** [00121]
**ἀγαθῶν** [00003]
**ἀγαθώτερον** [00003]
**ἀγγελικῶν** [00110]
**ἄγνωμον** [00042]
**ἄγων** [00017]
**ἀγωνίαν** [00064]
**ἀδιαδόχων** [00103] [00117]
**ἀδυσώπητον** [00066]
**ἀέρος** [00110]
**ἄθροισις** [00013]
**Aἱ** [00056]
**αἱ** [00011]
**αἰφνίδιον** [00066]
**αἰῶνας** [00122]
**αἰώνιον** [00106]
**αἰῶνος** [00110]
**αἰώνων** [00122]
**ἀκοινώνητος** [00014]
**ἀκολάκευτον** [00066]
**ἄκοντα** [00094]
**ἀκτῖνα** [00043]
**ἀκτῖνος** [00009]
**ἀληθείας** [00112]
**ἀλλ** [00011] [00012] [00013]
**ἀλλὰ** [00009] [00010] [00034] [00103]
**ἀλλοιώσεως** [00110]
**ἄλλῳ** [00086]
**ἄλλων** [00008] [00105]
**ἀλόγοις** [00008]
**ἀλόγων** [00014]
**ἁλουργίδι** [00118]
**ἁμαρτίας** [00022]
**Ἄμαχος** [00079]

**Ἀμήν** [00123]
**Ἀμφοτέρων** [00075]
**ἂν** [00007] [00007] [00011] [00013] [00084] [00086] [00092]
**ἀναμίγνυται** [00106]
**Ἀνανεύσωμεν** [00114]
**ἀνάπαυσις** [00055]
**ἀνεβόα** [00018]
**ἀνεῖλεν** [00045]
**ἀνελάμβανεν** [00032]
**ἀνέτελλεν** [00044]
**ἀνθέων** [00063]
**ἀνθρωπογένειαν** [00032]
**ἄνθρωπον** [00007] [00019] [00024] [00032] [00032] [00032] [00039] [00092]
**ἄνθρωπος** [00017] [00084]
**ἀνθρωπότητι** [00004]
**ἀνθρώπου** [00003]
**ἀνθρώπῳ** [00098]
**ἀνθρώπων** [00110]
**ἀνοίξεως** [00110]
**ἀνόνητον** [00083]
**ἀντακοῦσαι** [00112]
**ἀντιδίκῳ** [00051]
**ἀντίπαλον** [00066]
**ἀξίᾳ** [00017]
**ἀξίαν** [00106]
**ἀξίωμα** [00118]
**ἅπαν** [00037]
**ἀπάντησιν** [00111]
**ἁπάντων** [00084]
**ἀπερίγραφον** [00066]
**ἀπεύχεται** [00089]
**ἀπληστίας** [00046]
**ἄπληστον** [00045]
**ἀπλήστου** [00047]
**ἀποθνήσκεις** [00102]
**ἀποκαθιστῶν** [00107]
**ἀπόλαυσις** [00009]
**ἀπομάθῃ** [00045]
**ἀρεστὰ** [00112]
**ἀρετὴ** [00002]
**ἀρετῆς** [00118]
**ἀρετῶν** [00106]
**ἀριθμουμένων** [00071]
**Ἀριθμῶν** [00003]
**ἅρπαγα** [00066]
**ἄῤῥηκτον** [00066]
**ἀρχετύπου** [00021]
**ἀρχὴν** [00045]
**ἀστράπτον** [00011]
**ἀτάκτου** [00017]
**αὐθεντίαν** [00026]
**αὐταρκείας** [00077] [00079] [00083]
**αὐτή** [00009]
**αὐτὴν** [00036]
**αὐτοῖς** [00015]
**αὐτὸν** [00050]
**Αὐτὸς** [00106]
**αὐτὸς** [00106]
**αὐτοῦ** [00051]
**αὐτουργὸν** [00032]
**αὐτοὺς** [00111]
**αὐτῷ** [00034] [00066] [00084] [00122]
**ἀφεὶς** [00032] [00032] [00032] [00105]
**ἀφιέναι** [00086]
**ἀφιστάμεθα** [00091]
**ἀχθοφορία** [00048]
**ἀϊδίου** [00045]

**βακχευμάτων** [00110]
**βαλαντίῳ** [00106]
**βαλαντίων** [00071]
**βασιλεῖ** [00005] [00106]
**βασιλείαν** [00119]
**βασιλείας** [00106]
**βασιλεύειν** [00119]
**βασιλέως** [00037] [00074]
**βασιλικῆς** [00118]
**βαστάζει** [00106]
**βίον** [00048] [00049]
**βίος** [00084]
**βίου** [00003] [00062] [00119]
**βίῳ** [00052]
**βιωτικὰ** [00114]
**βιωτικῶν** [00061]
**βοῆσαι** [00111]
**βούλει** [00061] [00093]
**βούλομαι** [00092]
**βουσὶν** [00012]
**βοῶν** [00106]
**βοῶντας** [00112]
**βοῶντος** [00112]
**βρωμάτων** [00010]

**γὰρ** [00004] [00008] [00022] [00024] [00026] [00036] [00037] [00043] [00046] [00047] [00049] [00053] [00056] [00063] [00064] [00078] [00080] [00084] [00102] [00121]
**γάρ** [00098]
**γέ** [00031]
**γένει** [00003] [00035]
**γενετῆς** [00023]
**Γενηθήτω** [00027]
**γενηθήτω** [00028]
**γενηθήτωσαν** [00029]
**γένος** [00034]
**γῆ** [00031]
**γηΐνων** [00103] [00115]
**γῆν** [00032] [00110]
**γῆς** [00110]
**γινώσκομαι** [00113]
**γινώσκω** [00113]
**γνώμην** [00087]
**γνώμης** [00005] [00007] [00017]
**γράμμα** [00089]
**γράμμασιν** [00085] [00105]

**γράμματος** [00089]
**γράφει** [00089]
**γράψῃς** [00095]

**δὲ** [00012] [00015] [00023] [00032] [00035] [00061] [00084] [00085] [00121]
**δέ** [00092]
**δεικνὺς** [00017]
**Δεινὸν** [00046]
**δεόμενος** [00032] [00034]
**δεσπόζων** [00017]
**δεσπότου** [00110]
**Δεύτερον** [00038]
**δευτέρου** [00045]
**δὴ** [00016] [00114]
**δηλοῖ** [00087]
**δῆλον** [00078]
**δηλῶν** [00018]
**δι** [00017] [00109] [00110]
**διὰ** [00043] [00044] [00064]
**διαδοχαῖς** [00105]
**διαδοχῆς** [00063]
**διάδοχος** [00075]
**διαθήκαις** [00085]
**διαθήκης** [00087]
**διαθηκῶν** [00105]
**διανοίᾳ** [00017]
**διάπλασιν** [00034]
**διαπλάττειν** [00034]
**διάστημα** [00059]
**διαστήμασιν** [00053]
**διατίθεσθαι** [00097]
**διάφορον** [00073]
**διέδραμεν** [00058]
**διέθετο** [00094]
**διέλθωμεν** [00116]
**διεξιὼν** [00017]
**δικαίων** [00106] [00110]
**διοικῶν** [00017]
**διϊόντι** [00048]
**δοκοῦντες** [00086]
**δόξα** [00122]
**δὸς** [00061]
**δουλείαν** [00119]
**δυνάμεθα** [00078]
**δυνάμενος** [00032]
**δυναστείαις** [00065]
**δυναστείας** [00005]
**δυνήσῃ** [00096]
**δυνησόμεθα** [00080]
**δύσχρηστον** [00017]
**δῷ** [00045]
**δωρεὰ** [00023]
**δώροις** [00066]
**δῶρον** [00012]
**δώρου** [00045]

**ἑαυτοῦ** [00106]
**ἐγειρουσῶν** [00110]
**ἔδει** [00032] [00043]
**εἰ** [00061]
**εἶ** [00051] [00107]
**εἴγε** [00086]
**εἴη** [00088] [00090]
**εἰκόνα** [00019] [00022] [00024] [00039]
**εἰκόνι** [00036]
**εἰκόνος** [00020] [00037] [00118]
**εἰκὼν** [00021]
**εἶναι** [00092]
**εἰπεῖν** [00032]
**εἰς** [00007] [00029] [00034] [00034] [00046] [00078] [00084] [00119] [00122]
**εἰσηνέγκαμεν** [00078]
**ἐκ** [00005] [00005] [00006] [00007] [00018] [00026] [00103]
**Ἑκάστῳ** [00026]
**ἑκατέρου** [00075]
**ἑκατοντοῦτιν** [00060]
**ἐκεῖνα** [00108] [00109]
**ἐκζητοῦντες** [00121]
**ἐκτακεὶς** [00066]
**ἐκτήσω** [00096]
**ἔκτιζεν** [00026]
**ἐλαττωθήσονται** [00121]
**ἐλπίδων** [00004] [00106]
**ἐμὰ** [00113]
**ἐμαυτὸν** [00003]
**ἐμοί** [00107]
**ἐμῶν** [00088] [00090] [00113]
**ἐν** [00050] [00051] [00067] [00067] [00068] [00068] [00069] [00069] [00070] [00070]
**Ἐν** [00035]
**ἐνδεικνύμενος** [00034]
**ἐνθέου** [00007]
**ἑνὶ** [00015]
**ἐννοίᾳ** [00017]
**ἐννοίαις** [00116]
**ἔννοιαν** [00109]
**ἑνὸς** [00015]
**ἐνταφίων** [00076]
**ἐνώπιόν** [00112] [00112]
**ἐξ** [00007] [00011] [00110]
**Ἐξ** [00015]
**ἐξάγαγε** [00032]
**ἐξαγαγέτω** [00030] [00031]
**ἐξαίφνης** [00110]
**ἐξαπίνης** [00067]
**ἐξέβαλεν** [00036]
**ἐξενεγκεῖν** [00078] [00080] [00096]
**ἐξέστημεν** [00086]
**ἐοικότα** [00063]
**ἐπείνασαν** [00121]
**ἐπὶ** [00110]
**ἐπιστήμῃ** [00017]
**Επιτρέπετα** [00041] [00100] [00124]
**ἐπιφθεγγόμενος** [00026]

**ἐποιήσαμεν** [00112]
**ἐπορεύθημεν** [00112]
**ἐπτώχευσαν** [00121]
**ἐρασθῶμεν** [00117]
**ἐράσμιοι** [00011]
**ἔργον** [00089]
**ἑρπετὰ** [00030]
**ἐσκέπτετο** [00032]
**ἐστίν** [00008]
**ἐστιν** [00054]
**ἔστιν** [00012] [00086]
**ἑστιωμένου** [00006]
**ἔτεσιν** [00061]
**ἔτη** [00057]
**ἐτήρει** [00026]
**Εὐαγγελίοις** [00050]
**Εὖγε** [00076]
**εὐθέως** [00112]
**Εὔλογος** [00052]
**εὐνοῶν** [00051]
**εὐπορία** [00004]
**εὑρήσει** [00095]
**εὑρίσκει** [00106]
**εὑρίσκων** [00003]
**εὕροις** [00007] [00011]
**εὐσέβεια** [00077] [00104]
**εὐσέβειαν** [00035]
**εὐσεβείας** [00106]
**εὐσεβῶν** [00004]
**Εὐχὴν** [00089]
**ἐφ** [00018]
**ἔχει** [00064] [00066]
**ἕως** [00051]

**ζῇν** [00088] [00090]
**ζήσῃ** [00102]
**ζητῶμεν** [00120]
**ζωὴ** [00053]
**ζωήν** [00060]
**ζωῆς** [00057] [00059]
**ζωοποιοῖς** [00006]
**ζωσῶν** [00030]

**ἡ** [00002] [00009] [00010] [00013] [00014] [00020] [00031] [00048] [00052] [00065] [00071] [00077] [00094] [00104] [00122]
**Η** [00001]
**ἡδονὴ** [00006]
**ἥλιον** [00043]
**ἡμᾶς** [00008] [00015]
**ἤμβλυνεν** [00042]
**ἡμέραι** [00056]
**ἡμετέραν** [00019] [00024] [00039]
**ἡμῖν** [00014] [00014] [00018] [00023] [00059]
**ἡμῶν** [00015] [00056] [00057] [00103]
**ἢν** [00017]
**ἣν** [00023]
**ἤν** [00086]
**ἡνιοχῶν** [00017]

**θαλάσσης** [00017]
**θάλλει** [00063]
**θάνατον** [00066]
**θάνατος** [00075]
**θανάτου** [00105]
**θέας** [00109]
**θείας** [00109]
**θεοποιίας** [00036]
**Θεὸς** [00018]
**θερμῶς** [00111]
**Θεῷ** [00017] [00045]
**θησαυροῖς** [00013]
**θησαυρῶν** [00117]
**θρήνοις** [00066]
**θρηνώδους** [00063]
**θρόνοις** [00069]
**θρόνων** [00062]

**ἰδίας** [00036]
**ἴδοις** [00013]
**ἱδρώτων** [00023]
**ἵνα** [00045]
**Ἴσθι** [00051]
**ἰσχύομεν** [00085]
**ἰσχύος** [00012]

**καθ** [00063]
**καθόδου** [00110]
**καιρόν** [00063]
**κἀκείνοις** [00010]
**καλή** [00009]
**καλλιτεχνίας** [00017]
**κάλλος** [00011]
**κάλλους** [00011]
**καλῶν** [00008] [00050]
**Κἂν** [00095]
**κἂν** [00045] [00062] [00062] [00062] [00062] [00093] [00096]
**καρποῦται** [00106]
**κατ** [00003] [00019] [00024] [00039] [00092]
**καταλίπῃς** [00096]
**καταλόγῳ** [00068]
**κατέσχεν** [00045]
**κατέχειν** [00086] [00086]
**κατέχεις** [00082]
**καυχημάτων** [00014]
**κεισομένῳ** [00047]
**κέκραγεν** [00032]
**κέκρυπται** [00035]
**κεκτήμεθα** [00049]

**κεχρημένος** [00017]
**κιβωτὸς** [00106]
**κινδύνοις** [00066]
**Κίνδυνος** [00022]
**κινδυνώδης** [00065]
**κινδύνων** [00064]
**Κληρονομεῖ** [00093]
**κληρονομεῖσθαι** [00094]
**κληρονομεῖται** [00105]
**κληρονομίαν** [00107]
**κληρονόμον** [00095] [00095]
**κληρονόμος** [00084] [00106]
**κληρονόμους** [00092]
**κοινωνία** [00008]
**κοινωνοὺς** [00032]
**κόλαξι** [00070]
**κόμπος** [00072]
**κόσμον** [00078]
**κουφίσωμεν** [00115]
**κρατούμενα** [00082]
**κρίνομεν** [00103]
**κτηθέντων** [00079]
**κτημάτων** [00072]
**κτήνεσιν** [00009]
**κτησαμένοις** [00083]
**κτησάμενον** [00105]
**κτήτορες** [00085]
**κτήτορσιν** [00079]
**κτίσαι** [00032]
**κτίσεως** [00017] [00047]
**κτισθῆναι** [00032]
**κτίσιν** [00003] [00036]
**κτίστης** [00017] [00023]
**κυβερνήτῃ** [00017]
**Κύριε** [00112]
**κυριεύειν** [00088] [00090]
**Κύριον** [00121]
**Κύριος** [00050]
**κωμῳδῶ** [00103]

**λαβεῖν** [00085]
**λάμπῃ** [00062]
**λαμπρὸς** [00005]
**λαμπρῶν** [00062]
**λάμψαι** [00043]
**λέγω** [00097]
**λῃστείας** [00065]
**λογισμῷ** [00017]
**λοιπῶν** [00084]

**μαθήμασιν** [00006]
**μακαριστὸν** [00109]
**μᾶλλον** [00003]
**μαρασμοῖς** [00063]
**μαργαριτῶν** [00013]
**ματαία** [00048]
**με** [00088] [00088] [00090] [00090]
**μέγα** [00037]
**μεγάλη** [00023]
**μέγας** [00077] [00104]
**μελέτης** [00034] [00034]
**μέλλον** [00045] [00116]
**μεμεριμνημένον** [00034]
**μεμέτρηται** [00053]
**μὲν** [00008] [00021] [00026] [00042] [00063]
**μέν** [00088] [00090]
**μεριμνᾷ** [00065]
**μερίμνῃ** [00025]
**μεριμνήμασιν** [00066]
**μέσον** [00007] [00074]
**μεστὴν** [00003]
**μετ** [00051]
**μεταβολαὶ** [00065]
**μετάγεις** [00081]
**μετάσχεσις** [00010]
**μηδὲν** [00079]
**μηδενὶ** [00096]
**μικρὸν** [00047] [00070]
**μικρὸς** [00022]
**Μνήσθητι** [00112]
**μοναρχίας** [00036]
**μόνιμον** [00061]
**μόνος** [00032]
**μόνου** [00015]
**μόνῳ** [00015]
**μου** [00107]
**μυρίοις** [00066]
**μυρίων** [00003]

**νεκροῦ** [00073]
**νεκροὺς** [00110]
**νεκρῶν** [00068]
**νικῶνται** [00015]
**νομιζόμενον** [00037]
**νος** [00031]
**νόσοις** [00065]
**νῦν** [00111]
**νῷ** [00017]

**ὁ** [00017] [00018] [00023] [00050] [00068] [00069] [00070] [00072] [00075] [00084] [00087] [00106] [00107] [00108]
**ὅ** [00062]
**Ὁ** [00065] [00067]
**ὁδεύων** [00106]
**ὁδὸν** [00048]
**Ὁδὸν** [00049]
**ὁδὸς** [00053]
**ὁδοῦ** [00052]
**ὁδῷ** [00051]

**οἱ** [00085] [00121]
**οἰκείας** [00106]
**οἰκίαν** [00106]
**οἴκου** [00099]
**οἰκουμένης** [00110]
**οἶον** [00009]
**ὀλιγοχρόνιος** [00055]
**ὅλων** [00005]
**ΟΜΙΛΙΑ** [00001]
**ὂν** [00063]
**ὄνησις** [00047]
**ὄντα** [00063]
**ὄντων** [00017] [00017] [00026] [00032]
**Ὄντως** [00104]
**ὅπερ** [00007]
**ὁπόση** [00006]
**ὀρνίθων** [00011]
**ὁρῶ** [00003]
**ὁρωμένων** [00026]
**Ὅσα** [00084]
**ὄστρεα** [00013]
**ὅτι** [00078] [00103] [00109]
**Ὅτι** [00002]
**ὅτου** [00051]
**οὐ** [00022] [00034] [00034] [00043] [00045] [00049] [00102] [00105]
**Οὐδὲ** [00091]
**οὐδὲ** [00003] [00078]
**οὐδὲν** [00003] [00078] [00080] [00096]
**οὐδενὶ** [00061] [00076]
**Οὐδενὸς** [00014]
**οὐδενὸς** [00007] [00014]
**οὐκ** [00026] [00042] [00045] [00085] [00086] [00086] [00105] [00121]
**οὖν** [00062]
**οὐρανὸν** [00017] [00106]
**οὐσίας** [00106]
**οὖσιν** [00026]
**οὕτω** [00004]
**Οὕτως** [00050]
**οὕτως** [00005]
**Οὐχ** [00097]
**οὐχ** [00105]
**ὀφθαλμοφανῶς** [00110]
**ὄψεσιν** [00110]

**πάθω** [00092]
**παιδαγωγία** [00035]
**παλαίσας** [00066]
**πάμμεγα** [00034]
**Πᾶν** [00007]
**πανδοχεῖον** [00054]
**Πάντα** [00063]
**πάντα** [00063]
**πανταχόθεν** [00003]
**παντὸς** [00064] [00120] [00121]
**πάντων** [00002]
**παρ** [00014] [00014] [00015] [00105]
**παράβασιν** [00044]
**παραγάγῃς** [00007]
**παράγουσιν** [00056]
**παραδόξου** [00110]
**παραδοὺς** [00036]
**παραινεῖ** [00098]
**παραπεμπόμενα** [00103]
**παραπλήσιος** [00017]
**παραχώρησις** [00015]
**παραχωροῦντος** [00089]
**παρεκτικὴν** [00003]
**παρέξῃ** [00061]
**παρερχομένων** [00055]
**παρεσκεύαζεν** [00023]
**παρεχόμενος** [00026]
**Παρῆλθεν** [00058]
**παῤῥησίᾳ** [00106]
**Πᾶσαν** [00036]
**πᾶσαν** [00026]
**πατρίδα** [00049]
**Παύλου** [00076]
**πενομένου** [00073]
**πέρας** [00083]
**περὶ** [00099] [00114]
**περικλύζηται** [00062]
**περισφίγγοντος** [00089]
**περιττῶν** [00048]
**πεφιληκότας** [00111]
**πηλίκον** [00111]
**πλάσεως** [00025]
**πλάσιν** [00032]
**πλαττομένους** [00045]
**πλεονέκτημα** [00012]
**πλεονεκτήματι** [00015]
**πλεονεκτήματος** [00014]
**πλὴν** [00076]
**πλούσια** [00013]
**Πλούσιοι** [00121]
**πλουσίου** [00073]
**πλοῦτος** [00004] [00065]
**πλούτου** [00013] [00120] [00120]
**πλουτούντων** [00054]
**πλούτῳ** [00062] [00067] [00106]
**Ποιήσωμεν** [00019] [00024] [00033] [00039]
**Ποίῳ** [00016]
**πολλάκις** [00003]
**πολλῆς** [00114]
**πολλῶν** [00003]
**πολυετίαν** [00060]
**πολύευκτος** [00013]
**πολυθρύλλητον** [00012]
**πολυτρόποις** [00066]
**Πορισμὸς** [00077]
**πορισμὸς** [00104]
**Πόσον** [00059]
**Ποῦ** [00057] [00071] [00072] [00073] [00074]
**που** [00098]
**πρεπωδέστερον** [00003]

πρέπων [00004]
Πρὸ [00025]
πρὸ [00023] [00023] [00120]
προαιρέσεις [00103]
προβλέπων [00042]
προγιγνώσκων [00045]
προειδὼς [00044]
πρόκειται [00009]
πρόλογος [00087]
προνοίᾳ [00017]
προοιμίων [00018]
προορῶν [00045]
Πρὸς [00108]
πρὸς [00008] [00015] [00032] [00032] [00035] [00043] [00045] [00116]
προσαίτου [00074]
πρόσεισι [00106]
προσελθόντας [00111]
προσηγορία [00052]
πρόσκαιρόν [00054]
πρόσκαιρος [00045]
πρόσκρουσιν [00022]
πρόσοδον [00106]
προσόδου [00072]
προστάγματος [00026]
προστακτικῶς [00026]
προστάτην [00120]
προστάττοντα [00032]
προστάττοντος [00026]
προτιμοτέρα [00002]
πρόφασιν [00045]
προφήτης [00098]
πρῶτα [00057]
πτωχῶν [00054]

σαθρὰ [00063]
σαλπίγγων [00110]
σαρκίνων [00014]
σε [00094]
σεμνυνόμενον [00007]
σήμερον [00067] [00068]
σκέπην [00084]
σκιὰ [00056]
σκιᾶς [00058]
σκίασμα [00058]
σκοπός [00108]
σκορπίζεται [00105]
σκώληξι [00070]
σου [00051] [00101] [00112] [00112]
σοφίᾳ [00017]
σπαργάνοις [00069]
σπίλῳ [00022]
σπιλώσας [00022]
στερέωμα [00028]
στρέφωμεν [00119]
Σὺ [00107]
σὺ [00095] [00102]
συγκαλεῖ [00032]
συλλέξειεν [00084]
συλλογισμὸς [00079]
συμπέρασμα [00075]
συμπεριφέρῃ [00062]
συμποσίῳ [00068] [00106]
σὺν [00106]
συνειδότος [00006]
συνεκδημεῖ [00106]
συνεξάγεις [00081]
συνεξιέναι [00079]
συνεπάγεται [00106]
συνεργίας [00034]
συνεργῶν [00032] [00034]
σύνθεσιν [00032]
συνοδία [00076]
σχεδιάζοντα [00032]
σχηματισμῷ [00034]
σχήματος [00058]
σχοίῃ [00022]
σώζων [00017]
σωματικοῦ [00014]
σωφρονισμὸν [00046]

τὰ [00003] [00017] [00017] [00017] [00030] [00057] [00082] [00095] [00103] [00112] [00113] [00114]
ταῖς [00065] [00065] [00085]
Τάξαι [00099]
τὰς [00065] [00103]
ταῦτα [00018]
ταύτην [00069]
ταύτης [00012]
τάφος [00075]
τάφῳ [00067]
ταχθέντες [00119]
τελευτή [00046]
τελευτήσει [00084]
τετράποδα [00031]
τεύξεταί [00109]
τεχθῆναι [00109]
τέχνην [00034]
Τῇ [00017]
τῇ [00035] [00051] [00069]
τηλικαύτη [00006]
τὴν [00003] [00022] [00026] [00032] [00032] [00032] [00032] [00036] [00043] [00044] [00044] [00045] [00045] [00045] [00087] [00106] [00107] [00110] [00111] [00115] [00119]
τῆς [00009] [00017] [00017] [00017] [00017] [00020] [00022] [00025] [00034] [00036] [00047] [00052] [00057] [00059] [00072] [00076] [00083] [00087] [00106] [00106] [00110] [00110] [00110] [00110] [00110] [00114] [00118]
Τί [00081] [00082]
τι [00062] [00078] [00092]
Τίθει [00060]
τιμὴ [00020]
τιμῇ [00035]
τιμὴν [00045]
τιμιώτερα [00103]
τιμώμεθα [00025]
τιμωμένης [00005]
Τίς [00004] [00005] [00006]

**τίς** [00047]
**τις** [00006] [00008] [00009] [00022] [00035] [00109]
**Τὸ** [00083]
**τὸ** [00012] [00012] [00017] [00017] [00042] [00042] [00045] [00045] [00059] [00061] [00073] [00074] [00075] [00089] [00089] [00097] [00109] [00111] [00116] [00118]
**τοῖς** [00008] [00009] [00026] [00050] [00063] [00069] [00070] [00070] [00079] [00083] [00095]
**τὸν** [00017] [00032] [00032] [00032] [00032] [00032] [00043] [00048] [00049] [00078] [00092] [00105] [00106] [00120] [00121]
**τόποις** [00066]
**τότε** [00111]
**τοῦ** [00003] [00003] [00011] [00013] [00062] [00089] [00091] [00099] [00110] [00119] [00120]
**τοὺς** [00043] [00110] [00122]
**τοῦτο** [00044]
**τούτοις** [00103]
**τούτῳ** [00016]
**τούτων** [00010] [00061] [00103]
**τριπλασίασιν** [00061]
**τροφὴν** [00084]
**τρυφὴ** [00065]
**τρυφῇ** [00062]
**τρυφῆς** [00006] [00068]
**τυφλούς** [00043]
**Τῷ** [00047] [00048]
**τῷ** [00003] [00005] [00022] [00034] [00035] [00045] [00051] [00052] [00079] [00106] [00106] [00106]
**Τῶν** [00008]
**τῶν** [00005] [00010] [00014] [00014] [00017] [00017] [00026] [00026] [00032] [00048] [00061] [00062] [00063] [00071] [00072] [00079] [00084] [00088] [00090] [00091] [00103] [00103] [00106] [00106] [00110] [00110] [00110] [00110] [00110] [00113] [00115] [00117] [00119] [00122]

**ὕβριν** [00045]
**ὕδατα** [00030]
**ὑπ** [00110]
**ὕπαρξιν** [00026]
**ὑπὲρ** [00109]
**ὑπεύθυνα** [00063]
**ὑπήκοον** [00017]
**ὑπὸ** [00113]
**ὑπόκειται** [00105]
**ὑπολοίπου** [00059]
**ὑψηλότητι** [00062]

**φαινόμενα** [00017]
**φαντασία** [00058]
**φαῦλον** [00097]
**φαῦσιν** [00029]
**φερομένων** [00110]
**φησὶν** [00024] [00077] [00080] [00081] [00088] [00092] [00121]
**φιλανθρωπίαν** [00044]
**φιλάνθρωπος** [00020] [00023]
**φιλόθεος** [00106]
**φιλοκαλεῖν** [00003]
**φιλοκαλῶν** [00045]
**φιλοτιμῆται** [00062]
**φιλότιμον** [00060]
**φίλτρον** [00042]
**φίλτρου** [00091]
**φοβερὰ** [00020] [00021]
**φορτισμάτων** [00115]
**φρικώδους** [00021]
**φροντίδος** [00114]
**φυλάξωμεν** [00118]
**φυλαττόμενον** [00066]
**φυόμενα** [00017]
**φύσει** [00003]
**φύσιν** [00026]
**φύσις** [00014] [00094]
**φωνῇ** [00089]
**φωνῆς** [00076]
**φῶς** [00027]
**φωστῆρες** [00029]

**χαρὰ** [00071]
**χαριζόμενοι** [00085]
**χάριν** [00045]
**χάριτες** [00011]
**χείρων** [00014]
**χθὲς** [00067] [00068] [00069] [00070]
**χορηγία** [00010]
**χρῄζων** [00034]
**χρήμασι** [00095]
**χρήματα** [00095] [00103]
**χρημάτων** [00091]
**Χριστιανοῖς** [00108]

**Ψυχαγωγούμεθα** [00085]
**ψυχὴν** [00002] [00115]
**ψυχῆς** [00003]
**ψυχοῤῥαγοῦντες** [00091]
**ψυχῶν** [00030]

**Ὦ** [00111]
**ὧν** [00096]
**ὡραιότητα** [00003]
**ὡς** [00004] [00005] [00007] [00017] [00021] [00023] [00032] [00045] [00048] [00056] [00058] [00058] [00086] [00097] [00112]
**Ὡς** [00032] [00032]
**ὥσπερ** [00053]